σμα, καὶ εὐθὺς ἡ γαστήρ. ὀδόντες δὲ πολλοί, καὶ ἐπὶ πλεῖστον τεταμένοι. φασὶ δὲ εἶναι τὸν ἀριθμὸν τυγχάνουσιν ὅσας ὁ θεὸς εἰς ὅλον ἔτος ἀναλάμπει τὰς ἡμέρας. τοσοῦτον ἔργον *ἐργεῖ τῶν γυιῶν παιδίον. ἂν δὲ ἐκπειράσῃ πρὸς τὴν γῆν, ὅσον ἔχει δυνάμεως, ἀπιστήσεις ἰδὼν τὴν τοῦ στόματος αὐλήν.

## ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ.

Τριῶν δὲ πλεύσαντες ἡμερῶν εἰς Ἀλεξάνδρειαν ἤλθομεν. ἀνιόντι δέ μοι κατὰ τὰς ἡλίου καλουμένας πύλας, συνῆντα τὸ εὐθὺς τῆς πόλεως ἀστράπτον τὸ κάλλος, καί μου τοὺς ὀφθαλμοὺς ἐγέμισεν ἡδονῆς. στάθμη μὲν κιόνων ὄρθιος ἑκατέρωθεν ἐκ τῶν ἡλίου πυλῶν, ἐς τὰς σελήνης πύλας· οὗτοι γὰρ τῆς πόλεως οἱ πυλωροί· ἐν μέσῳ δὲ τῶν κιόνων, τῆς πόλεως τὸ πεδίον. ὁδὸς δὲ διὰ τοῦ πεδίου πολλή, καὶ ἔνδημος ἀποδημία. ὀλίγους δὲ τῆς πόλεως σταδίους προελθών, ἦλθον εἰς τὸν ἐπώνυμον Ἀλεξάνδρου τόπον. εἶδον δὲ ἐντεῦθεν ἄλλην πόλιν, καὶ σχιζόμενον ταύτῃ τὸ κάλλος. ὅσος γὰρ κιόνων ὄρχατος ἐς τὴν εὐθυωρίαν, τοσοῦτος ἕτερος εἰς τὰ ἐγκάρσια. ἐγὼ δὲ μερίζων τοὺς ὀφθαλμοὺς ἐς πάσας τὰς ἀγυιὰς, θεατῆς ἀκόρεστος ἤμην, καὶ τὸ κάλλος ὅλως οὐκ ἐξήρκουν ἰδεῖν. τὰ μὲν ἔβλεπον, τὰ δ᾽ ἔμελλον,

τὰ